The purpose of this apparatus is to show all variation within **Family 35**, for James, as identified by a complete collation of the following forty-four representative MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2303, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined.   18, 1864, 2554 and 2723 have no variants.

# ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ[1]

**1**.1 Ιακωβος, Θεου και Κυριου Ιησου Χριστου δουλος, ταις δωδεκα[2] φυλαις ταις εν τη Διασπορα:
χαιρειν.

[Various exhortations]

**1**.2 Πασαν[3] χαραν ἡγησασθε, αδελφοι μου, ὁταν πειρασμοις[4] περιπεσητε ποικιλοις, 3 γινωσκοντες
ὁτι το[5] δοκιμιον ὑμων της πιστεως κατεργαζεται ὑπομονην· 4 ἡ δε ὑπομονη[6] εργον τελειον εχετω,
ἱνα ητε τελειοι και ὁλοκληροι, εν μηδενι λειπομενοι.

*[About wisdom]*

5 Ει δε τις ὑμων λειπεται σοφιας, αιτειτω παρα του διδοντος Θεου πασιν ἁπλως και ουκ[7]
ονειδιζοντος, και δοθησεται αυτω. 6 Αιτειτω δε εν πιστει, μηδεν διακρινομενος, ὁ γαρ
διακρινομενος εοικεν κλυδωνι[8] θαλασσης ανεμιζομενω και ῥιπιζομενω—7 μη γαρ οιεσθω ὁ
ανθρωπος εκεινος ὁτι ληψεται[9] τι παρα του[10] Κυριου, 8 ανηρ διψυχος ακαταστατος εν πασαις ταις
ὁδοις αυτου.

9 Καυχασθω δε ὁ αδελφος ὁ ταπεινος εν τω ὑψει αυτου, 10 ὁ δε πλουσιος εν τη
ταπεινωσει αυτου,[11] ὁτι ὡς ανθος χορτου παρελευσεται. 11 Ανετειλεν γαρ ὁ ἡλιος συν τω καυσωνι
και εξηρανεν τον χορτον, και το ανθος αυτου[12] εξεπεσεν και ἡ ευπρεπεια του προσωπου αυτου
απωλετο. Οὑτως και ὁ πλουσιος εν ταις πορειαις αυτου μαρανθησεται.

*[About testing]*

12 Μακαριος ανηρ[13] ὃς ὑπομενει πειρασμον, ὁτι δοκιμος γενομενος ληψεται τον στεφανον
της ζωης ὃν επηγγειλατο ὁ Κυριος τοις αγαπωσιν αυτον. 13 Μηδεις πειραζομενος λεγετω ὁτι
"Απο Θεου πειραζομαι", ὁ γαρ Θεος απειραστος εστιν κακων, πειραζει δε αυτος ουδενα.
14 Ἑκαστος δε πειραζεται ὑπο της ιδιας επιθυμιας, εξελκομενος και δελεαζομενος. 15 Ειτα ἡ
επιθυμια, συλλαβουσα, τικτει ἁμαρτιαν, ἡ δε ἁμαρτια αποτελεσθεισα, αποκυει[14] θανατον.

16 Μη πλανασθε,[15] αδελφοι μου αγαπητοι: 17 πασα δοσις αγαθη και παν δωρημα τελειον
Ανωθεν εστιν, καταβαινον απο του Πατρος των φωτων, παρ' ᾧ ουκ ενι παραλλαγη ἢ τροπης
αποσκιασμα. 18 Βουληθεις, απεκυησεν ἡμας λογω αληθειας, εις το ειναι ἡμας[16] απαρχην τινα των
αυτου κτισματων.

19 Ὡστε, αδελφοι μου αγαπητοι, εστω πας ανθρωπος ταχυς εις το ακουσαι, βραδυς εις το
λαλησαι, βραδυς εις οργην· 20 οργη γαρ ανδρος δικαιοσυνην Θεου ου κατεργαζεται.

*[About obeying the Word]*

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] δωδεκα || δωδωκα 1892
[3] πασαν || --- 1754
[4] πειρασμοις || πειρασμεις 1248
[5] το || --- 149
[6] υπομονη || ηπομονη 1858 (i)
[7] ουκ || μη (29.7%) 1732
[8] κλυδωνι || κλυδονι 201
[9] ληψεται || λεψεται 149
[10] του || --- [15%] 1876
[11] αυτου || 1 ουτος 1754
[12] αυτου || --- 1761
[13] ανηρ || ανδ̂ς 1503
[14] αποκυει || κυει 386,2466
[15] πλανασθε || πλανασθαι 1897
[16] λογω αληθειας εις το ειναι ημας || --- 1248 (clear case of homoioteleuton)

21 Διο αποθεμενοι πασαν ῥυπαριαν[1] και περισσειαν κακιας, εν πραυτητι δεξασθε[2] τον
εμφυτον λογον τον δυναμενον σωσαι τας ψυχας ὑμων.[3] 22 Γινεσθε[4] δε ποιηται λογου[5] και μη[6]
μονον ακροαται, παραλογιζομενοι ἑαυτους. 23 Ὁτι ει τις ακροατης νομου[7] εστιν και ου ποιητης,
οὑτος εοικεν ανδρι κατανοουντι το προσωπον της γενεσεως αυτου εν εσοπτρω· 24 κατενοησεν γαρ
ἑαυτον και απεληλυθεν και ευθεως επελαθετο[8] ὁποιος ἠν. 25 Ὁ δε παρακυψας εις νομον τελειον
τον[9] της ελευθεριας και παραμεινας, οὑτος—ουκ ακροατης επιλησμονης γενομενος αλλα ποιητης
εργου—οὑτος μακαριος εν τη ποιησει αυτου εσται.

26 Ει τις δοκει θρησκος ειναι εν ὑμιν, μη χαλιναγωγων γλωσσαν αυτου αλλ'[10] απατων
καρδιαν αυτου, τουτου ματαιος ἡ θρησκεια. 27 Θρησκεια καθαρα και αμιαντος παρα Θεω και
Πατρι αὑτη εστιν: επισκεπτεσθαι ορφανους και χηρας εν τη θλιψει αυτων, ασπιλον ἑαυτον τηρειν
απο του κοσμου.

*[About partiality]*

**2**.1 Αδελφοι μου, μη εν προσωποληψιαις εχετε την πιστιν του Κυριου ἡμων Ιησου
Χριστου, της Δοξης! 2 Εαν γαρ εισελθη εις την συναγωγην ὑμων ανηρ χρυσοδακτυλιος, εν εσθητι
λαμπρα, εισελθη δε και πτωχος εν ῥυπαρα εσθητι, 3 και επιβλεψητε επι τον φορουντα την
λαμπραν εσθητα και ειπητε αυτω, "Συ καθου ὡδε[11] καλως", και τω πτωχω ειπητε, "Συ στηθι
εκει", ἡ "Καθου ὡδε ὑπο το ὑποποδιον[12] μου", 4 ου διεκριθητε εν ἑαυτοις και εγενεσθε[13] κριται
διαλογισμων πονηρων?

5 Ακουσατε, αδελφοι μου αγαπητοι. Ουχ ὁ Θεος εξελεξατο τους πτωχους του κοσμου
πλουσιους εν πιστει και κληρονομους της βασιλειας ἡς επηγγειλατο τοις αγαπωσιν αυτον?
6 Ὑμεις δε ητιμασατε[14] τον πτωχον. Ουχ οἱ πλουσιοι καταδυναστευουσιν ὑμων, και αυτοι
ἑλκουσιν ὑμας εις κριτηρια? 7 Ουκ αυτοι βλασφημουσιν το καλον ονομα το επικληθεν εφ' ὑμας?
8 Ει μεντοι νομον τελειτε βασιλικον κατα την Γραφην, "Αγαπησεις τον πλησιον σου ὡς
σεαυτον",[15] καλως ποιειτε· 9 ει δε προσωποληπτειτε, ἁμαρτιαν εργαζεσθε, ελεγχομενοι ὑπο του
νομου ὡς παραβαται. 10 Ὁστις γαρ ὁλον τον νομον τηρησει,[16] πταισει δε εν ἑνι, γεγονεν παντων
ενοχος. 11 Ὁ γαρ ειπων, "Μη μοιχευσης",[17] ειπεν και, "Μη φονευσης". Ει δε ου μοιχευσεις,[18]
φονευσεις[19] δε, γεγονας παραβατης νομου.

12 Οὑτως λαλειτε και οὑτως ποιειτε[20] ὡς δια νομου ελευθεριας μελλοντες κρινεσθαι 13 (ἡ
γαρ κρισις ανηλεος[21] τω μη ποιησαντι[22] ελεος). Κατακαυχαται ελεον[23] κρισεως.

[Faith and works]

**2**.14 Τί το οφελος, αδελφοι μου, εαν πιστιν λεγη[24] τις εχειν, εργα δε μη εχει?[25] Μη δυναται ἡ
πιστις σωσαι αυτον? 15 Εαν δε αδελφος ἡ αδελφη γυμνοι ὑπαρχωσιν, και λειπομενοι ωσιν της
εφημερου τροφης, 16 ειπη[26] δε τις αυτοις εξ ὑμων, "'Ὑπαγετε εν ειρηνη, θερμαινεσθε και

---

1 ρυπαριαν || ρυπαρειαν 1858 (sp)
2 δεξασθε 149$^{c}$ || δεξασθαι 149
3 υμων || ημων [25%] 1768
4 γινεσθε || γινεσθαι 1754
5 λογου || νομου [6%] 328
6 μη || --- 328
7 νομου || λογου [69%] 1761
8 επελαθετο || απελαθετο 149
9 τον || --- 432,1768
10 αλλ || αλλα 986
11 ὡδε 201,432,1548,1732,1761,1865,1892,1897,2221,2303,2466
12 υποποδιον || ποποδιον 1072
13 εγενεσθε || εγενεσθαι 1249,1754
14 ητιμασατε 1892$^{c}$ || ἡτιμασατε 1876 || ητοιμασατε [5%] 149,201,328,986,1072,1892,2352
15 σεαυτον 35$^{c}$,1768$^{c}$ || εαυτον [50%] 35,757,1768
16 τηρησει || τηρηση [1.5%] 1892
17 μοιχευσης || μοιχευσεις 1754
18 μοιχευσεις || μοιχευσης [4%] 1876
19 I believe ECM has misrepresented MS 18 here.
20 ποιειτε || ποιητε 1548
21 ανηλεος 2352$^{c}$ || ανιλεος 2303,2352 || ανιλεως [50%] 432,604,1768 (ECM misrepresents both 18 and 35 here—clearly so.)
22 ποιησαντι || ποισαντι 2352
23 ελεον || ελεος [20%] 328,394,432,604,928,986,1249,1548,1725,1732$^{alt}$,1897,2587
24 λεγη || λεγει [28%] 1754$^{v}$,1768
25 εχει || εχη [47%] 141,328,386,394,604,928,986,1075,1249,1548,1855,1876,2431,2587,2626 (MS 2303 illegible)
26 ειπη || ειποι 432,1768

χορταζεσθε”,[1] μη δωτε δε αυτοις τα επιτηδεια[2] του σωματος, τί το οφελος? 17 Οὑτως και ἡ πιστις,
εαν μη εργα εχη,[3] νεκρα εστιν, καθ’ ἑαυτην. 18 (Αλλ’ ερει τις: “Συ πιστιν εχεις καγω εργα εχω.[4]
Δειξον μοι την πιστιν[5] σου εκ των εργων σου, καγω δειξω σοι[6] εκ των εργων μου την πιστιν
μου.” 19 Συ πιστευεις ὁτι ὁ Θεος εἱς εστιν. Καλως ποιεις. Και τα δαιμονια πιστευουσιν—και
φρισσουσιν![7]) 20 Θελεις δε γνωναι, ω[8] ανθρωπε κενε, ὁτι ἡ πιστις χωρις των εργων νεκρα εστιν?

*[Examples]*

21 Ἁβρααμ[9] ὁ πατηρ ἡμων ουκ εξ εργων εδικαιωθη ανενεγκας[10] Ισαακ[11] τον υἱον αυτου επι
το θυσιαστηριον? 22 Βλεπεις ὁτι ἡ πιστις συνηργει τοις εργοις αυτου, και εκ των εργων ἡ πιστις
ετελειωθη. 23 Και επληρωθη ἡ Γραφη ἡ λεγουσα, “Επιστευσεν δε Ἁβρααμ τω[12] Θεω, και ελογισθη
αυτω εις δικαιοσυνην”. Και ‘φιλος Θεου’ εκληθη. 24 Ὁρατε τοινυν ὁτι εξ εργων δικαιουται[13]
ανθρωπος, και ουκ εκ πιστεως μονον. 25 Ὁμοιως δε[14] και Ῥααβ ἡ πορνη ουκ εξ εργων εδικαιωθη
ὑποδεξαμενη τους αγγελους και ἑτερα ὁδω εκβαλουσα? 26 Ὡσπερ γαρ το σωμα χωρις πνευματος
νεκρον εστιν, οὑτως και ἡ πιστις χωρις των εργων νεκρα εστιν.

[Careful with your tongue!]

3.1 Μη πολλοι διδασκαλοι γινεσθε, αδελφοι μου, ειδοτες ὁτι μειζον κριμα ληψομεθα. 2 Πολλα
γαρ πταιομεν ἁπαντες. Ει τις εν λογω ου πταιει, οὑτος τελειος ανηρ, δυναμενος χαλιναγωγησαι
και ὁλον το σωμα. 3 Ιδε, των ἱππων τους χαλινους εις τα στοματα βαλλομεν προς το πειθεσθαι
αυτους ἡμιν, και ὁλον το σωμα αυτων μεταγομεν. 4 Ιδου και τα πλοια: τηλικαυτα οντα και ὑπο
ανεμων σκληρων[15] ελαυνομενα, μεταγεται ὑπο ελαχιστου πηδαλιου[16] ὁπου αν ἡ ὁρμη[17] του
ιθυνοντος βουληται.[18] 5 Οὑτως και ἡ γλωσσα μικρον μελος εστιν και μεγαλαυχει.

Ιδου, ολιγον πυρ ἡλικην ὑλην αναπτει! 6 Και ἡ γλωσσα πυρ! Ὁ κοσμος της αδικιας, οὑτως
ἡ γλωσσα καθισταται εν τοις μελεσιν ἡμων,[19] ἡ σπιλουσα ὁλον το σωμα και φλογιζουσα τον
τροχον της γενεσεως, και φλογιζομενη ὑπο της Γεεννης.[20] 7 Πασα γαρ φυσις θηριων τε και
πετεινων,[21] ἑρπετων τε και εναλιων, δαμαζεται και δεδαμασται τη φυσει[22] τη ανθρωπινη. 8 Την
δε γλωσσαν[23] ουδεις δυναται ανθρωπων δαμασαι—ακατασχετον κακον, μεστη ιου θανατηφορου.
9 Εν αυτη ευλογουμεν τον[24] Θεον και Πατερα, και εν αυτη καταρωμεθα τους ανθρωπους τους καθ’
ὁμοιωσιν Θεου γεγονοτας. 10 Εκ του αυτου στοματος εξερχεται ευλογια και καταρα. Ου χρη,
αδελφοι[25] μου, ταυτα[26] οὑτως γινεσθαι.[27] 11 Μητι ἡ πηγη εκ της αυτης οπης[28] βρυει το γλυκυ και

---

1 και χορταζεσθε || --- 1072
2 επιτηδεια || επιτιδια 1892
3 εργα εχη || ~ 21 2431
4 εχω || --- [2%] 204
5 εχεις καγω εργα εχω δειξον μοι την πιστιν || --- 1248 (clear case of homoioteleuton)
6 σοι || σου 1754
7 φρισσουσιν || φριττουσιν 1761
8 ὦ || ὧ 2303
9 ἁβρααμ || αβρααμ [50%] 149
10 ανενεγκας || ανενεγκος 2303
11 ισαακ || --- 141
12 τω || 11 2431 (from one line to the next)
13 δικαιουται || δικαιουτε 1876
14 δε || --- 1637,2431
15 ανεμων σκληρων || ~ 21 [56%] 432,604,1768
16 πηδαλιου || πηδηλιου 328
17 ὁρμη || ορμη 201
18 βουληται || βουλεται [10%] 1248
19 ημων || υμων 986
20 γεεννης || γεενης 149
21 πετεινων || --- 1754 (but adds και πετεινων after εναλιων)
22 φυσει || φυση 1548
23 γλωσσαν || γλωσαν 2626
24 τον || --- 2431
25 αδελφοι || αδελφη 1897,2431
26 ταυτα || --- 2431
27 γινεσθαι || γενεται 2431
28 οπης || ὁπης 1548

το[1] πικρον?[2] 12 Μη δυναται, αδελφοι[3] μου, συκη ελαιας ποιησαι, ἢ αμπελος συκα? Οὕτως ουδεμια
πηγη ἁλυκον[4] και γλυκυ ποιησαι ὑδωρ.

[True wisdom]

3.13 Τίς σοφος και επιστημων εν ὑμιν? Δειξατω εκ της καλης αναστροφης τα εργα αυτου εν
πραυτητι σοφιας. 14 Ει δε ζηλον πικρον εχετε και εριθειαν εν τη καρδια ὑμων, μη κατακαυχασθε[5]
και ψευδεσθε[6] κατα της αληθειας—15 ουκ εστιν αὑτη ἡ σοφια Ανωθεν κατερχομενη, αλλ' επιγειος,
ψυχικη, δαιμονιωδης. 16 Ὁπου γαρ ζηλος και εριθεια, εκει ακαταστασια και παν φαυλον πραγμα.
17 Ἡ δε Ανωθεν σοφια πρωτον μεν ἁγνη εστιν, επειτα ειρηνικη, επιεικης, ευπειθης, μεστη ελεους
και καρπων αγαθων, αδιακριτος και ανυποκριτος. 18 Καρπος δε δικαιοσυνης εν ειρηνη σπειρεται
τοις ποιουσιν[7] ειρηνην.

*[Is not worldliness]*

4.1 Ποθεν πολεμοι και μαχαι εν ὑμιν? Ουκ εντευθεν, εκ των ἡδονων ὑμων[8] των
στρατευομενων εν τοις μελεσιν ὑμων? 2 Επιθυμειτε και ουκ εχετε· φονευετε[9] και ζηλουτε και ου
δυνασθε επιτυχειν· μαχεσθε και πολεμειτε. Ουκ εχετε[10] δια το μη αιτεισθαι ὑμας. 3 Αιτειτε[11] και
ου λαμβανετε διοτι κακως αιτεισθε, ἱνα εν ταις ἡδοναις ὑμων δαπανησητε. 4 Μοιχοι και
μοιχαλιδες! Ουκ οιδατε ὁτι ἡ φιλια του κοσμου εχθρα του Θεου εστιν? Ὃς αν ουν[12] βουληθη
φιλος ειναι του κοσμου[13] εχθρος του Θεου καθισταται. 5 Ἢ δοκειτε ὁτι κενως ἡ Γραφη λεγει,
προς φθονον επιποθει το Πνευμα ὃ κατωκησεν[14] εν ἡμιν? 6 Μειζονα δε διδωσιν χαριν· διο λεγει,
"Ὁ Θεος[15] ὑπερηφανοις αντιτασσεται, ταπεινοις δε διδωσιν χαριν".

*[Is submitting to God]*

7 Ὑποταγητε ουν τω Θεω· αντιστητε τω διαβολω και φευξεται αφ' ὑμων.[16] 8 Εγγισατε τω
Θεω και εγγιει ὑμιν. Καθαρισατε χειρας, ἁμαρτωλοι, και ἁγνισατε καρδιας, διψυχοι!
9 Ταλαιπωρησατε και πενθησατε και κλαυσατε! Ὁ γελως ὑμων εις πενθος μεταστραφητω και ἡ
χαρα εις κατηφειαν. 10 Ταπεινωθητε ενωπιον του Κυριου και ὑψωσει ὑμας.

*[Does not judge the different brother]*

11 Μη καταλαλειτε αλληλων, αδελφοι. Ὁ γαρ καταλαλων αδελφου και κρινων τον αδελφον
αυτου καταλαλει νομου και κρινει νομον. Ει δε νομον κρινεις, ουκ εἶ ποιητης νομου αλλα
κριτης. 12 Εἷς εστιν ὁ Νομοθετης και Κριτης,[17] ὁ δυναμενος σωσαι και απολεσαι. Συ δε[18] τίς εἶ
ὃς κρινεις τον ἑτερον?

*[Does not boast about tomorrow]*

13 Αγε νυν, οἱ λεγοντες, "Σημερον και αυριον πορευσωμεθα[19] εις τηνδε την πολιν και
ποιησωμεν[20] εκει ενιαυτον ἑνα και εμπορευσωμεθα[21] και κερδησωμεν"·[22] 14 οἱτινες ουκ επιστασθε
το της αυριον. Ποια γαρ ἡ ζωη ἡμων?[23] Ατμις γαρ εστιν ἡ προς ολιγον φαινομενη, επειτα[24]
αφανιζομενη. 15 Αντι του λεγειν ὑμας, "Εαν ὁ Κυριος θελη,[25] και ζησωμεν και ποιησωμεν

[1] το || 11 986 (from one line to the next)
[2] ECM misrepresents MS 35 here.
[3] αδελφοι || αδελφη 1897
[4] αλυκον || αλικον 2221
[5] κατακαυχασθε 35c || καυχασθε [15%] 35
[6] ψευδεσθε || ψευδεσθαι 1754
[7] ποιουσιν || πιουσιν 824
[8] υμων 1248c || ημων 1248
[9] φονευετε || φονευεται 1754
[10] εχετε || εχεται 1754
[11] αιτειτε || ετειτε 824
[12] ουν 1892c || --- [42%] 1072,1876,1892,2431 || ~ ουν αν 2303
[13] ειναι του κοσμου || ~ 231 1075
[14] κατωκησεν || κατωκησσεν 1754
[15] ο θεος || κυριος [6%] 432,604,1768
[16] υμων || ημων 1248,1754
[17] εις εστιν ο νομοθετης και κριτης || --- 432 (clear case of homoioteleuton)
[18] δε || --- [6%] 149,201
[19] πορευσωμεθα || πορευσομεθα [24%] 1100,2221c
[20] ποιησωμεν || ποιησομεν [11%] 149,2221c
[21] εμπορευσωμεθα || εμπορευσομεθα [16%] 1100,2221c || εμπορευρευσομεν 1858 (from one line to the next)
[22] κερδησωμεν || κερδησομεν [12%] 2221c
[23] ημων 1248c,1768c || υμων [74%] 432,604,1248,1768
[24] επειτα || επιτα 1876
[25] θεληση || θελησει [12%] 1876

τουτο ἢ εκεινο”. 16 Νυν δε καυχασθε εν ταις αλαζονειαις[1] ὑμων. Πασα καυχησις τοιαυτη πονηρα
εστιν. 17 Ειδοτι ουν καλον ποιειν[2] και μη ποιουντι, ἁμαρτια αυτω εστιν.

## [The coming of the Lord]

### *[Rich oppressors will be judged]*

5.1 Αγε νυν, οἱ πλουσιοι, κλαυσατε ολολυζοντες[3] επι ταις ταλαιπωριαις ὑμων ταις επερχομεναις!
2 Ὁ πλουτος ὑμων σεσηπεν[4] και τα ἱματια ὑμων σητοβρωτα γεγονεν. 3 Ὁ χρυσος ὑμων και ὁ
αργυρος κατιωται, και ὁ ιος αυτων εις μαρτυριον ὑμιν εσται και φαγεται[5] τας σαρκας ὑμων ὡς
πυρ—εθησαυρισατε εν[6] εσχαταις ἡμεραις. 4 Ιδου, ὁ μισθος των εργατων των[7] αμησαντων τας
χωρας ὑμων, ὁ απεστερημενος αφ’ ὑμων, κραζει, και[8] αἱ βοαι των θερισαντων εις τα ωτα Κυριου
Σαβαωθ εισεληλυθασιν. 5 Ετρυφησατε επι της γης και εσπαταλησατε, εθρεψατε τας καρδιας ὑμων[9]
ὡς εν ἡμερα σφαγης. 6 Κατεδικασατε, εφονευσατε τον δικαιον—ουκ αντιτασσεται[10] ὑμιν.

### *[Patience and perseverance]*

7 Μακροθυμησατε ουν, αδελφοι, ἑως της παρουσιας του Κυριου.[11] Ιδου, ὁ γεωργος
εκδεχεται τον[12] τιμιον καρπον της γης, μακροθυμων επ’ αυτον ἑως αν λαβη ὑετον πρωιμον και
οψιμον. 8 Μακροθυμησατε και ὑμεις. Στηριξατε τας καρδιας ὑμων, ὁτι ἡ παρουσια του Κυριου
ηγγικεν. 9 Μη στεναζετε κατ’ αλληλων, αδελφοι, ἱνα μη κριθητε. Ιδου, ὁ Κριτης[13] προ των θυρων
ἑστηκεν! 10 Ὑποδειγμα λαβετε, αδελφοι, της κακοπαθειας και της μακροθυμιας τους προφητας οἳ
ελαλησαν εν[14] τω ονοματι Κυριου. 11 Ιδου, μακαριζομεν τους ὑπομενοντας—την ὑπομονην Ιωβ
ηκουσατε, και το τελος Κυριου[15] ειδετε,[16] ὁτι πολυσπλαγχνος[17] εστιν και οικτιρμων.[18]

12 Προ παντων δε, αδελφοι μου, μη ομνυετε, μητε τον ουρανον μητε την γην μητε αλλον
τινα ὁρκον. Ητω δε ὑμων το Ναι ναι και το Ου ου, ἱνα μη εις ὑποκρισιν πεσητε.

### *[Righteous prayer is powerful]*

13 Κακοπαθει[19] τις εν ὑμιν? Προσευχεσθω. Ευθυμει τις? Ψαλλετω. 14 Ασθενει τις εν ὑμιν?
Προσκαλεσασθω τους πρεσβυτερους της εκκλησιας, και προσευξασθωσαν επ’ αυτον, αλειψαντες[20]
αυτον ελαιω εν τω ονοματι του[21] Κυριου. 15 Και ἡ ευχη της πιστεως σωσει τον καμνοντα, και
εγερει[22] αυτον ὁ Κυριος· καν ἁμαρτιας ᾖ πεποιηκως, αφεθησεται αυτω. 16 Εξομολογεισθε αλληλοις
τα παραπτωματα και ευχεσθε ὑπερ αλληλων, ὁπως ιαθητε. Πολυ ισχυει δεησις δικαιου,
ενεργουμενη. 17 Ηλιας ανθρωπος ἠν ὁμοιοπαθης ἡμιν, και προσευχη προσηυξατο του μη βρεξαι·
και ουκ εβρεξεν επι της γης ενιαυτους[23] τρεις και μηνας ἑξ. 18 Και παλιν προσηυξατο και ὁ
ουρανος ὑετον εδωκεν και ἡ γη εβλαστησεν τον καρπον αυτης.

### *[Help the wanderer]*

19 Αδελφοι, εαν τις εν ὑμιν πλανηθη απο της αληθειας, και επιστρεψη[24] τις αυτον,
20 γινωσκετω ὁτι[25] ὁ επιστρεψας ἁμαρτωλον εκ πλανης ὁδου αυτου σωσει ψυχην εκ θανατου και
καλυψει πληθος ἁμαρτιων.

---

[1] αλαζονειαις || αλαζονιαις 1732 || αλαζοναις 149
[2] καλον ποιειν || ~ 21 1892 || 1 1865
[3] ολολυζοντες || ὀλολυζοντες 201,1072,1248
[4] σεσηπεν || σεπησε 149 || σεσηπτε 1754
[5] φαγεται || καταφαγεται 1637,1892 || φαγετε 2466
[6] εν || 1 ταις 432
[7] των || --- 149
[8] και || --- 149,201
[9] υμων || ημων 1100
[10] αντιτασσεται || αντιτασεται 1754
[11] κυριου || χριστου [2%] 149,201
[12] τον || το 1248
[13] κριτης || κρητης 1754
[14] εν || --- [58%] 1761
[15] κυριου || αυτου 1754
[16] ειδετε || ιδετε [45%] 824
[17] πολυσπλαγχνος || πολυευσπλαγχνος [35%] 328,824alt,1725,1732alt,1768
[18] οικτιρμων || 1 ο κυριος 1754
[19] κακοπαθει || κακοπαθη 986,1855
[20] αλειψαντες || ἀλειψαντες 1892
[21] του || --- [8%] 328,1876,1897
[22] ECM misrepresents MS 35 here.
[23] ενιαυτους || ενιαυτοις 1858 (s)
[24] επιστρεψη || επιστρεψει [2%] 149,201,1248
[25] οτι || --- 141